# 24 AUGUST

# PARACLISUL SF.CUVIOS-MUCENIC COSMA DE LA ETOLIA

ATENA,1900


ΜΗΔΕΙC
ΤΟ ἙΑΥΤΟΥ
ΖΗΤΕΙΤΩ
ἈΛΛΑ
ΤΟ ΤΟΥ Ἑ
ΤΕΡΟΥ
ἝΚΑCΤΟC

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΙΣΑΠΟΣΤΟΛΟΝ ΑΓΙΟΝ ΚΟΣΜΑΝ

### Ψαλλόμενος τὴν 24 Αὐγούστου.

Μετὰ τόν, Εὐλογητόν, τὸ Κύριε εἰσάκουσον κτλ. Εἶτα τὸ Θεὸς Κύριος, καὶ τὸ τροπάριον ἦχ. δ΄. Ὁ ὑψωθείς.

Χριστιανῶν τῶν Ὀρθοδόξων ὁ ῥύστης, ἁμαρτωλῶν καὶ ταπεινῶν ὁ προστάτης, ὁ βοηθὸς καὶ ἰατρὸς ἁπάντων ἀσθενῶν, σῶσόν με προσφεύγοντα τῇ ἁγίᾳ σορῷ σου, σκέπασόν με πτέρυξι τῶν ἐνθέρμων λιτῶν σου, Κοσμᾶ ὁσίων εὖχος τὸ σεπτόν, καὶ πάσης νόσου καὶ θλίψεως ῥῦσέ με.



Δόξα. Καὶ νῦν. Οὐ σιωπήσομεν. Ὁ Ν΄ καὶ ὁ Κανών, ἔχων ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις Σεραφείμ· ᾠδὴ α΄ ἦχ. πλ. δ΄ ὑγρὰν διοδεύσας.

Νηστείᾳ καὶ δάκρυσιν ὁ Θεός, Κοσμᾶ θεοφόρε, ἱλεοῦται τοῖς κατ᾿ ἐμέ, ἀφρόνως αὐτὸν λελυπηκόσιν, ὅν μοι πρὸ τέλους, θεόφρον, ἱλέωσας.

Παθῶν με νομάδες τῶν τῆς σαρκός, νῦν περικυκλοῦσι καὶ συσφίγγουσι χαλεπῶς, Κοσμᾶ Θεοφόρε, τὸν σὸν δοῦλον ἐκ τούτων πάντων λιταῖς σου διάσωσον,

Ἀσθενοῦσι πάθεσι χαλεποῖς, τῇ ἐμῇ καρδίᾳ τῇ οἰκτρᾷ καὶ βαρυαλγεῖ, Κοσμᾶ ἰσαπόστολε, εὐχαῖς σου πανσιπροσδέκτοις τὴν ἴασιν δώρησαι.

Θεοτοκίον.

Συνέχομαι κινδύνοις καὶ πειρασμοῖς, καὶ πρὸς σὲ Παρθένε καταφεύγων ἐπιζητῶ, τὴν λύσιν αὐτῶν καὶ σωτηρίαν· διὸ λιταῖς τὸν δοῦλόν σου οἴκτειρον.

www.tezaurliturgic.ro

'Ωδὴ Γ'. Οὐρανίας ἀψῖδος.

Ραντισμῷ τῶν δακρύων τὸ δυσειδές, πάνσεπτε, τῶν ἐμῶν πταισμάτων κατάρδευσον καὶ ἀπόπλυνον, καὶ τὰ τοῦ σώματος κάθαρον ἕλκη εὐχαῖς σου, πρὸς Θεὸν μακάριε, Κοσμᾶ, σοῦ δέομαι.

Αἰτωλίας ὁ κόσμος, τῶν εὐσεβῶν καύχημα, θεῖος βοηθὸς, πάτερ Κοσμᾶ, τῶν ἐν ἀνάγκαις ἀεί, τὸν σοὶ προστρέχοντα μὴ οὖν κἀμὲ ὑπερίδης, ἀλλὰ ταῖς πρεσβείαις σου οἴκτειρον σῶσόν με.

Καταιγὶς νοσημάτων νῦν ἐφ' ἡμᾶς ἔπνευσε, Πάτερ, 'Αλβανίας ὁ ρύστης, ταύτην κατεύνασον, πάντας, Κοσμᾶ σοφέ, ἡμᾶς πρὸς ὅρμον ὀθύνων, πλήρη εὐθυμίας, ταῖς σαῖς παρακλήσεις. Θεοτοκίον.

Εὐσυμπάθητον μόνη Θεὸν Σωτῆρα κυήσασα δέσποινα τοῦ κόσμου, τοῦτον ἀεὶ καθικέτευε, βίον πρὸς κρείττονα, τὸν ἀνοήτοις μερίμναις, ἐμὲ κυλινδούμενον, βαδίζειν πάντοτε.

'Ωδὴ Δ' εἰσακήκοα Κύριε.

Τοῦ συνέχοντος καύσωνος, δρόσῳ τὴν καρδίαν μου ἐλευθέρωσον τὴν πυρέττουσαν, πρεσβείαις σου, Κοσμᾶ Πάτερ, δέομαι ὁ πανάθλιος.

Κοσμᾶ πάτερ πρεσβεύω σοι, μὴ ἐγκαταλίπῃς με ἐν ὥρᾳ θλίψεως, ἀλλὰ ρῦσαι καὶ βοήθει μοι, ταῖς πρὸς τὸν Σωτῆρα ἱκεσίαις σου.

'Αλγηδόνων ἀπάλλαξον καὶ τῶν συνεχόντων ἀρρωστημάτων με,

www.tezaurliturgic.ro



ὦ Κοσμᾶ ταῖς σαῖς δεήσεσι, ταῖς πρὸς τὸν Δεσπότην ἱκετεύω σε.

Θεοτοκίον.

Ῥῶσιν ἄνοσον δίδου μοι καὶ πάθη ἀνίατα καταπράϋνον, εὐσπλαγχνίας τῷ φωτήσει σου, ὡς Θεὸν τεκοῦσα ἀπειρόγαμε.

Ὠδὴ Ε΄. Φώτισον ἡμᾶς.

Σκέπασον ἀχλὺν, Κοσμᾶ Πάτερ, τοῖς αὐγάσμασι, τοῖς ἐν σοὶ τοῦ Πνεύματος, τὰς ψυχὰς καταφωτίζων τῶν πόθῳ τιμώντων σε.

Ἅπαντα ἐχθρὸν δυσμενῶς ἐπιτιθέμενον ἡμῖν τοῖς δούλοις σου, Πάτερ Κοσμᾶ σθένει ὑψίστου, τυμπατῶν σὺ ἐξαφάνισον.

Ὄφιν τὸν δεινὸν σοῖς οἰκέταις ἐπεμβαίνοντα ἐπιβουλάς τε συσκευάζοντα, Κοσμὰ θεόφρον, σθένει θείῳ σὺ θα άτωσον.

Θεοτοκίον.

Ἄχραντε σεμνὴ θείῳ ὕδατι με ῥάντισον καὶ ταῖς λιβάσι τοῦ ἐλέους σου, σταγόνας δίδου τῶν δακρύων ὑετίζειν με.

www.tezaurliturgic.ro

'Ωδὴ στ'. Ἱλάσθητί μοι Σωτήρ.

Ἐπίβλεψον ἐπ' ἐμὲ Κοσμᾶ, ἱλέῳ σου ὄμματι καὶ νοσημάτων δεινῶν καὶ πάσης κακώσεως εὐχαῖς σου ἀπάλλαξον, καὶ τῆς τῶν ἀθέων κακουχίας καὶ συμπτώσεως.

Σκανδάλων γνωμικῆς καὶ φυσικῆς ἐμπαθείας με, καὶ φθόνου τῶν δυσμενῶν καὶ πάσης φαυλότητος, Κοσμᾶ ἱερώτατε, καὶ κακίας ῥῦσαι τῆς τοῦ βίου σαῖς δεήσεσι.

Κατ' ὀφειλὴν τῷ Ναῷ τῷ ἱερῷ σου προσέδραμον, καὶ ὡς ἱκέτης οἰκτρὸς Κοσμᾶ, νῦν παρίσταμαι καὶ καθικετεύω σε, ῥῦσαί με λιταῖς σου, ἐκ κινδύνων καὶ θλίψεων. Θεοτοκίον.

Φιλάγαθε Μαριάμ, Θεὸν τῶν ὅλων συνέλαβες, καὶ ἔφερες ἐν γαστρὶ τὸν φύσει ἀσώματον, καὶ σαρκὶ ἐγέννησας τὸν Ποιητὴν πάντων ὁρατῶν καὶ ἀοράτων τε.

Διάσωσον τοὺς σοὺς οἰκέτας νόσοις δεινῶν καὶ κινδύνων, Πάτερ Κοσμᾶ, ταῖς θείαις ἐντεύξεσιν, ὡς ἕτοιμος βοηθὸς ἐν ἀνάγκαις.

Καὶ Θεοτοκίον. Ἄχραντε ἡ διὰ λόγου.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει. Εἶτα τὸ κοντάκιον

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐχθροῖς παρατάχθητι τοῖς πολεμοῦσιν ἡμῖν· δεινῶς γὰρ ἐπέ-

www.tezaurliturgic.ro



εησαν τῇ κληρουχίᾳ τῇ σῇ, Κοσμᾶ ἱερώτατε· βλέσον ταῖς λιταῖς σου τῶν βαρβάρων τὰ θράση, γνώτωσαν πῶς ἰσχύει Ὀρθοδόξων ἡ πίστις, καὶ πάντας τοὺς μισοῦντας ἡμᾶς ἀφάνισον.

Προκείμενον ἦχ. δ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. Εὐαγγέλιον κατὰ Λουκᾶν Εἶπεν ὁ Κύριος. . . προσέχετε ἀπὸ τῶν ἀνθρώπων (Ζήτει 26 8)βρίου

Δόξα Ταῖς τοῦ Διδασκάλου. Καὶ νῦν Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ παρὸν

Ἦχος πλ. β. Ολην ἀποθέμενοι.

Δέξαι μου τὴν δέησιν Κοσμᾶ, ὁσίων ἀκρότης, καὶ μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου τὸν ἀνάξιον· ὡς οὐδεὶς ἄλλος γὰρ ἐπὶ γῆς Πάνσεπτε, ἐν ἀνθρώποις ἐπλημμέλησα, διὸ τὴν θείαν σου πρεσβείαν αἰτῶ ὁ πανάθλιος· προφθάσας σύ με οἴκτειρον νῦν ὀδυνηρῶς συνεχόμενον, καὶ ῥῦσαί με νόσων καὶ πάσης ἄλλης προσβολῆς, καὶ τῆς μελλούσης κολάσεως, θείαις μεσιτείαις σου.

Τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου κτλ.

'Ωδὴ Ζ'. Οἱ ἐκ τῆς 'Ιουδαίας.

Θησαυρόν σε εἰδότες μὴ κενούμενον Πάτερ καὶ ἀδαπάνητον, προσφέρομεν ἀντλῆσαι, δαψιλοῦς εὐποίας, πλουτισμὸν ἀναφαίρετον· μὴ οὖν αὐτοῦ ὦ Κοσμᾶ ἡμᾶς ἀποστερήσῃς.

Ὦ Κοσμᾶ Θεοφόρε καταφύγιον πάντων τῶν θλιβομένων Πιστῶν, παντοίων νοσημάτων καὶ πάσης ἐπηρείας τῶν ἐχθρῶν με ἀπάλλαξον, καὶ τῶν πταισμάτων πολλῶν, ταῖς θείαις σου πρεσβείαις.

Αἰτωλίας τὸ εὖχος, ὁ Θεὸν σαρκωθέντα κηρύξας, ἅπασι, πολλαῖς κυριευθεῖσαν ἀτόποις ἁμαρτίαις, τὴν ψυχήν μου διάσωσον, ταῖς ἱκεσίαις Κοσμᾶ, ἵνα σε μακαρίζω.

Θεοτοκίον.

Ἐκ γαστρός σου προῆλθε, σαρκωθεὶς ὁ τῶν ὅλων, Παρθένε, Κύριος· αὐτὸν οὖν ἐκδυσώπει ρυσθῆναί με πταισμάτων καὶ κινδύνων καὶ θλίψεων. Σὺ γὰρ τῶν εὐσεβῶν πέφυκας ἡ προστάτις.

'Ωδὴ Η'. Τὸν Βασιλέα.

Περιωδύνους ἡμῶν ψυχὰς θεραπεύεις, πειρασμῶν τε ἀχλὺν ἀπελαύνοις, Κοσμᾶ ταῖς ἀκτῖσι τῶν θείων πρεσβειῶν σου.

Ὡς ἀσφαλῆ σε Κοσμᾶ προστάτην κατέχων, ἱκετεύω νόσων καὶ κινδύνων, θείαις σου πρεσβείαις, ἐκλύτρωσαί με τάχει.

Κοσμᾶ θεόφρων, τῶν ὀρθοδόξων προστάτης, ἐξελοῦ ἡμᾶς δαιμόνων ἐπηρείας, ταῖς πρὸς τὸν Σωτῆρα ἐνθέρμοις σου πρεσβείαις.

Θεοτοκίον.

Ἴασαι κόρη, ταῖς πρὸς τὸν Κτίστην λιταῖς σου, τηκομένοις νόσοις τούς σοὺς δούλους, καὶ δεινῶν παντοίων ἀπάλλαξον ταχέως.

Ὠδὴ θ. Κυρίως Θεοτόκον.

Σεισμοῦ, λιμοῦ πυρός τε καὶ αἰχμαλωσίας, καὶ ἀσθενείας λιταῖς σου ἐκλύτρωσαι, καὶ τοῦ λοιμοῦ τὴν σὴν ποίμνην Κοσμᾶ πανένδοξε.

Ἀνύψωσον τὸ κέρας τὸ τῆς Ἐκκλησίας καὶ τοῖς πιστοῖς κατ' ἐθνῶν δὲ παράσχου ἰσχὺν, ταῖς σαῖς ἐνθέοις πρεσβείαις, Κοσμὰ πανόλβιε. Δόξα Πατρί.

Ὡς σύμμαχος Θεόφρον, τῶν σὲ γεραιρόντων, χριστιανῶν ὀρθοδόξων, πρεσβείαις ταῖς σαῖς, ἐχθρῶν ἀπίστων τὰ στίφη, Κοσμᾶ κατάστρεψον. Καὶ νῦν Θεοτοκίον

Μαρία Θεοτόκε, τῆς ψυχῆς τὰ πάθη τῆς ταλαιπόρου μου νέκρωσον ἡ κυήσασα τὸν χορηγὸν τῆς ζωῆς Θεὸν τὸν φιλάνθρωπον.

Τὸ Ἄξιόν ἐστιν ὡς ἀληθῶς καὶ τὰ μεγαλυνάρια τοῦ ἁγίου.

Τὸ τῶν ἱερέων ὑπογραμμὸν τοῦ Ἄθω τὸ κλέος Αἰτωλίας τὸν θαυμαστὸν, εὖχος Μαθητῶν τε τοῦ Χριστοῦ καὶ Μαρτύρων τὸν μιμητὴν τιμῶμεν Κοσμᾶν τὸν πάνσοφον.

καὶ τὸ Πᾶσαι τῶν Ἀγγέλων. Τὸ τρισάγιον καὶ τὸ τροπάριον.

www.tezaurliturgic.ro

ἦχος δ'.

Ὠδαῖς εὐφημήσωμεν τῶν εὐκλεῶς τοῖς χοροῖς, μαρτύρων ἐμπρέψαντα θυτῶν τε καὶ ἀσκητῶν, Κοσμᾶν τὸν ἀοίδημον σήμερον συνελθόντες τῇ σεπτῇ αὐτοῦ μνήμῃ, νέμει γὰρ τὰς ἰάσεις τοῖς πιστῶς προσκυνοῦσιν, ὡς ἔχων παρρησίαν πρὸς Χριστὸν ὡς ἰσαπόστολος.

Ὁ ἱερεὺς μνημονεύει. Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν

ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δέξαι τὴν ἱκέσιον ᾠδὴν δέξαι μου τὸν θρῆνον ὦ Πάτερ, δέξαι τὴν δέησιν, δέξαι μου τὰ δάκρυα καὶ στεναγμὸν τῆς ψυχῆς καὶ τὸν θρῆνόν μου κόπασον τὰ δάκρυα παῦσον, πάντα μεταρρύθμισον τὰ λυπηρὰ εἰς χαράν· δίδου τῷ τὴν σὴν ἐκζητοῦντι θείαν προστασίαν καὶ σκέπην, ἐκ ψυχῆς ζεούσης Κοσμᾶ πάνσοφε.

Τ Ε Λ Ο Σ

**Προσετέθη καὶ ὁ Παρακλητικὸς κανὼν τοῦ ἁγίου Κοσμᾶ.**